deorſum ſe flectet: ſic vox,quæ ſua natura cogitur ſurſum ferri, vbi aëri ſibi aduerſo occurrerit,cùm per vim nequeat eum propellere, qui & amplior, & grauior eſt, reflexa in partem aduerſam deorſum ſe defert. Itaque aër, qui ore motus procurrerit,retorquetur,& ad ima collapſus ſentiri inferius magis poteſt.Tale etiam eſt,quod in reſonando fieri ſolet:vocis enim reflexus in partem contrariam agitur. 46 Cur vinolentis potius,quàm ſobriis frangi vox ſoleat? An repletio facit, vt vox celeriter frangi poſſit.Cuius rei argumentum,quòd neque chori,neque ludiones ſtatim à prandio , ſed ieiuni vocem exercere conſueuere. Cùm igitur vinolenti impleti ſint, meritò voces eorum potius frangi ſolent.

47 Cur vocem acutiorem longius audire poſſumus?An quòd vocis acumen velocitas eſt : moueri autem ocyus ſolent, quæ vehementius ferantur : quæ autem vehementius feruntur , hæc longius ferri poſſunt. 48 Cur ſpiritu retento meliùs audire valemus? An quòd reſpiratio nonnihil ſtrepitus mouet. Meritò ergo tunc meliùs ſentimus , cùm ſtrepitus minus eſt : minus autem ſtrepitus tum , cùm ſpiritum retinemus. 49 Quamobrem lux, quæ tenuior, & velocior , & deductior eſt , corpora penetrare denſa non poteſt , ſtrepitus autem poteſt? An quòd lux directo itinere fertur : itaque ſi quid rectè illi profluentiæ lucis obuium ſepiat, lucem penitus diſcludi neceſſe eſt. At ſtrepitus,quia ſpiritus eſt, ferri non rectè etiam poteſt:itaque efficitur,vt ſtrepitum ſentire vndique liceat,non eum tantùm,qui ſe rectè noſtris auribus obtulerit.

50 Quare qui rident,vocem grauiorem emittunt, qui flent, acutiorem? An quòd corpore intento vox acuta depromitur: infirmum autem , quod acutum eſt. Quæ vtraque in flentibus ineſſe potius nouimus: ſunt enim & intentiori corpore, & infirmiori. 51 Quam ob rem cùm vox aër quidem formatus ſit, & ſæpius diſſoluatur, cùm fertur : echo autem, id eſt,reſonantia fiat, icto eiuſmodi aëre in ſolidum quippiam , vox ipſa non diſſoluatur, ſed expreſſè eadem percipi poſſit? An quòd aer refringitur,ideóque totum à toto proficiſcitur. Tum etiam affectus hic non niſi de re ſimili exiſtit : quippe cùm aër reflecti de aëre ſoleat in cauo, non de cauo. 52 Quamobrem cùm ſimul vocem multi emittunt , vnúſque tantum, quantum ſinguli, reddit , multorum vox illa neque parem voci vnius offert ſeſe,

A ἀνεκλάσθη κάτω τὸν αὐτὸν τρόπον ἡ φωνὴ ἡ φύσιν ἔχουσα ἄνω φέρεσθαι, προσκόψασα τῷ ἐξ ἐναντίας ἀέρι, βιάζεσθαι μὲν οὐ δύναται, πλείονα ὄντα καὶ βαρύτερον· ἀνακλασθεὶς δὲ ὁ κινηθεὶς ἀὴρ ἐπὶ τοὐναντίον, ἠνέχθη κάτω. διὸ καταχεόμενος, ἀκούεται κάτω μᾶλλον. τοιοῦτο δὲ καὶ τὸ περὶ τὴν ἠχὼ συμβαῖνον ἐστὶν, ἀνάκλασις τῆς φωνῆς ἐπὶ τοὐναντίον.

B μϛ Διὰ τί μεθυόντων μᾶλλον ἀπορρήγνυται ἡ φωνὴ, ἢ νηφόντων; ἢ διὰ τὸ πεπληρῶσθαι ταχέως ἀπορρηγνύασι τὴν φωνήν; σημεῖον δὲ τούτου· οὔτε γὰρ οἱ χοροὶ μελετῶσιν ἐξ ἀρίστου, οὔτε οἱ ὑποκριταὶ, ἀλλὰ νήστεις. ἐν δὲ τῇ μέθῃ, πληρέστεροι ὄντες, εὐλόγως μᾶλλον ἀπορρήγνυνται τὰς φωνάς.

μζ Διὰ τί ποτε τῆς ὀξυτέρου φωνῶν πορρώτερον ἀκούουσιν; ἢ διότι τὸ ὀξὺ ἐν φωνῇ

C ταχύ ἐστι· θᾶττον δὲ κινεῖται, τὰ βίᾳ μᾶλλον φερόμενα· τὰ δὲ σφοδρότερον φερόμενα, ἐπὶ πλέον φέρεται. μη Διὰ τί κατέχοντες τὸ πνεῦμα μᾶλλον ἀκούομεν; ἢ ὅτι ἡ ἀνάπνευσις ψόφον τινὰ παρέχει. εἰκότως οὖν τότε μᾶλλον ἀκούομεν, ὅταν ἥττων ὁ ψόφος ἦ. ἥττων γὰρ ὁ ψόφος, ὅταν κατέχωμεν τὸ πνεῦμα. μθ Διὰ τί τὸ μὲν φῶς, οὐ διέρ-

D χεται διὰ τῶν πυκνῶν, λεπτότερον ὂν, καὶ πόρρω ὂν, καὶ θᾶττον· ὁ δὲ ψόφος, διέρχεται; ἢ διότι τὸ μὲν φῶς, κατ' εὐθεῖαν φέρεται· (ὥστε ἂν ἀντιφράξῃ τι τὴν εὐθυωρίαν, ὅλως ἀποκέκλεισται) ὁ δὲ ψόφος, φέρεται καὶ οὐκ εὐθὺ, διὰ τὸ πνεῦμα εἶναι; διὸ πανταχόθεν ψοφοῦντες ἀκούομεν, καὶ οὐ μόνον τὸν κατ' εὐθυωρίαν τοῖς ὠσί. ν Διὰ τί ποτε οἱ μὲν γελῶντες, βαρὺ φθέγγονται· οἱ δὲ κλαίοντες, ὀξύ; ἢ

E διότι ἀπὸ τῶν συντόνων ὀξεῖα ἡ φωνή; τὸ δὲ ὀξὺ ἐστὶν ἀσθενές. ἄμφω δὲ ταῦτα μᾶλλον τοῖς κλαίουσιν ὑπάρχει. καὶ γὰρ συντέτανται μᾶλλον οἱ κλαίοντες, καὶ ἀσθενέστεροί εἰσι.

να Διὰ τί, εἴπερ ἡ φωνὴ ἀήρ τις ἐσχηματισμένος ἐστι, φερομένη διαλύεται πολλάκις τὸ σχῆμα· ἡ δὲ ἠχὼ, ἣ γίνεται πληγέντος τοῦ τοιούτου πρός τι στερεὸν, οὐ διαλύεται, ἀλλὰ

F σαφῶς ἀκούομεν; ἢ διότι ἀνάκλασίς ἐστιν, οὐ κατάκλασις; τοῦτο δὲ ὅλον ἀφ' ὅλου· εἶτα τὸ πάθος ἀφ' ὁμοίου. ἀπὸ γὰρ τοῦ ἀέρος ἀνακλᾶται ἐν τῷ κοίλῳ, οὐκ ἀπὸ τοῦ κοίλου. νβ Διὰ τί ἑνός τε καὶ πολλῶν φθεγγομένων ἅμα, οὔτε ἴσος ὁ φθόγγος, οὔτε ἐπὶ πλεῖον γεγωνόσιν,

ὡς κατ'